www.tezaurliturgic.ro

+

# ΠΑΡΑΚΛΗΤΙΚΟΣ ΚΑΝΩΝ ΕΙΣ ΤΟΝ ΑΓΙΟΝ ΙΕΡΑΡΧΗΝ ΔΗΜΗΤΡΙΑΝΟΝ, ΕΠΙΣΚΟΠΟΝ ΚΥΘΡΕΑΣ ΤΗΣ ΚΥΠΡΟΥ

(οὗ ἡ μνήμη τῇ 6ῃ Νοεμβρίου)

Ἐποιήθη
ἐν Ἁγίῳ Ὄρει τοῦ Ἄθωνος

* ͵βις ʹ * 2016 *

ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ



# ΠΑΡΑΚΛΗΤΙΚΟΣ ΚΑΝΩΝ ΕΙΣ ΤΟΝ ΑΓΙΟΝ ΙΕΡΑΡΧΗΝ ΔΗΜΗΤΡΙΑΝΟΝ, ΕΠΙΣΚΟΠΟΝ ΚΥΘΡΕΑΣ ΚΥΠΡΟΥ

* * *

*Μετὰ τό, Εὐλογητός, ὁ ψαλμὸς 142*

Κύριε, εἰσάκουσον τῆς προσευχῆς μου, ἐνώτισαι τὴν δέησίν μου ἐν τῇ ἀληθείᾳ σου.

Εἰσάκουσόν μου ἐν τῇ δικαιοσύνῃ σου·καὶ μὴ εἰσέλθῃς εἰς κρίσιν μετὰ τοῦ δούλου σου, ὅτι οὐ δικαιωθήσεται ἐνώπιόν σου πᾶς ζῶν.

Ὅτι κατεδίωξεν ὁ ἐχθρὸς τὴν ψυχήν μου, ἐταπείνωσεν εἰς γῆν τὴν ζωήν μου.

Ἐκάθισέ με ἐν σκοτεινοῖς ὡς νεκροὺς αἰῶνος·καὶ ἠκηδίασεν ἐπ᾽ ἐμὲ τὸ πνεῦμά μου, ἐν ἐμοὶ ἐταράχθη ἡ καρδία μου.

Ἐμνήσθην ἡμερῶν ἀρχαίων, ἐμελέτησα ἐν πᾶσι τοῖς ἔργοις σου, ἐν ποιήμασι τῶν χειρῶν σου ἐμελέτων.

Διεπέτασα πρὸς σὲ τὰς χεῖράς μου, ἡ ψυχή μου ὡς γῆ ἄνυδρός σοι.

Ταχὺ εἰσάκουσόν μου, Κύριε, ἐξέλιπε τὸ πνεῦμά μου.

Μὴ ἀποστρέψῃς τὸ πρόσωπόν σου ἀπ᾽ ἐμοῦ, καὶ ὁμοιωθήσομαι τοῖς καταβαίνουσιν εἰς λάκκον.

Ἀκουστὸν ποίησόν μοι τὸ πρωῒ τὸ ἔλεός σου, ὅτι ἐπὶ σοὶ ἤλπισα.

Γνώρισόν μοι, Κύριε, ὁδὸν ἐν ᾗ πορεύσομαι, ὅτι πρὸς σὲ ἦρα τὴν ψυχήν μου.

Ἐξελοῦ με ἐκ τῶν ἐχθρῶν μου, Κύριε, πρὸς σὲ κατέφυγον.

Δίδαξόν με τοῦ ποιεῖν τὸ θέλημά σου, ὅτι σὺ εἶ ὁ Θεός μου.

Τὸ Πνεῦμά σου τὸ ἀγαθὸν ὁδηγήσει με ἐν γῇ εὐθείᾳ.

Ἕνεκεν τοῦ ὀνόματός σου, Κύριε, ζήσεις με.

Ἐν τῇ δικαιοσύνῃ σου ἐξάξεις ἐκ θλίψεως τὴν ψυχήν μου.

Καὶ ἐν τῷ ἐλέει σου ἐξολοθρεύσεις τοὺς ἐχθρούς μου· καὶ ἀπολεῖς πάντας τοὺς θλίβοντας τὴν ψυχήν μου, ὅτι ἐγὼ δοῦλός σού εἰμι.

*τό, Θεὸς Κύριος καὶ τὰ Τροπάρια*

Ἦχος δ'. Ὁ ὑψωθείς.

Πατὴρ ἐδείχθης ἱεράρχα Κυθρέας,
τὸ ποίμνιόν σου μητρικῶς ἀγαπήσας,
Δημητριανὲ τρισόλβιε, εἰκὼν σεπτὴ Χριστοῦ·
ὅθεν κατεπλούτησαι, ἐν χαρίσμασι θείοις,
δι᾽ ὧν διηκόνησας, δουλικῶς τοῖς πιστοῖς σου,
οὓς ἐξορίστους νῦν ταῖς σαῖς εὐχαῖς,
εἰς τὴν Κυθρέαν, ἐλθεῖν καταξίωσον.

*Δόξα. Καὶ νῦν. Θεοτοκίον, ὅμοιον.*

Οὐ σιωπήσομέν ποτε Θεοτόκε,
τὰς δυναστείας σου λαλεῖν οἱ ἀνάξιοι,
εἰ μὴ γὰρ σὺ προΐστασο πρεσβεύουσα,
τίς ἡμᾶς ἐῤῥύσατο ἐκ τοσούτων κινδύνωνκ
τίς δὲ διεφύλαξεν, ἕως νῦν ἐλευθέρουςκ
οὐκ ἀποστῶμεν, Δέσποινα ἐκ σοῦ,
σοὺς γὰρ δούλους σῴζεις ἀεί,
ἐκ παντοίων δεινῶν.

*Εἶτα ὁ Ν΄ ψαλμός·*

Ἐλέησόν με, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου ἐξάλειψον τὸ ἀνόμημά μου.

Ἐπὶ πλεῖον πλῦνόν με ἀπὸ τῆς ἀνομίας μου καὶ ἀπὸ τῆς ἁμαρτίας μου καθάρισόν με.



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

Ὅτι τὴν ἀνομίαν μου ἐγὼ γινώσκω, καὶ ἡ ἁμαρτία μου ἐνώπιόν μού ἐστι διὰ παντός.

Σοὶ μόνῳ ἥμαρτον καὶ τὸ πονηρὸν ἐνώπιόν σου ἐποίησα, ὅπως ἂν δικαιωθῇς ἐν τοῖς λόγοις σου καὶ νικήσῃς ἐν τῷ κρίνεσθαί σε.

Ἰδοὺ γὰρ ἐν ἀνομίαις συνελήφθην, καὶ ἐν ἁμαρτίαις ἐκίσσησέ με ἡ μήτηρ μου.

Ἰδοὺ γὰρ ἀλήθειαν ἠγάπησας, τὰ ἄδηλα καὶ τὰ κρύφια τῆς σοφίας σου ἐδήλωσάς μοι.

Ῥαντιεῖς με ὑσσώπῳ, καὶ καθαρισθήσομαι, πλυνεῖς με, καὶ ὑπὲρ χιόνα λευκανθήσομαι.

Ἀκουτιεῖς με ἀγαλλίασιν καὶ εὐφροσύνην, ἀγαλλιάσονται ὀστέα τεταπεινωμένα.

Ἀπόστρεψον τὸ πρόσωπόν σου ἀπὸ τῶν ἁμαρτιῶν μου καὶ πάσας τὰς ἀνομίας μου ἐξάλειψον.

Καρδίαν καθαρὰν κτίσον ἐν ἐμοί, ὁ Θεός, καὶ πνεῦμα εὐθὲς ἐγκαίνισον ἐν τοῖς ἐγκάτοις μου.

Μὴ ἀποῤῥίψῃς με ἀπὸ τοῦ προσώπου σου καὶ τὸ Πνεῦμά σου τὸ Ἅγιόν μὴ ἀντανέλῃς ἀπ᾿ ἐμοῦ.

Ἀπόδος μοι τὴν ἀγαλλίασιν τοῦ σωτηρίου σου καὶ πνεύματι ἡγεμονικῷ στήριξόν με.

Διδάξω ἀνόμους τὰς ὁδούς σου, καὶ ἀσεβεῖς ἐπὶ σὲ ἐπιστρέψουσιν.

Ῥῦσαί με ἐξ αἱμάτων, ὁ Θεός, ὁ Θεὸς τῆς σωτηρίας μου, ἀγαλλιάσεται ἡ γλῶσσά μου τὴν δικαιοσύνην σου.

Κύριε, τὰ χείλη μου ἀνοίξεις, καὶ τὸ στόμα μου ἀναγγελεῖ τὴν αἴνεσίν σου.

Ὅτι εἰ ἠθέλησας θυσίαν, ἔδωκα ἄν, ὁλοκαυτώματα οὐκ εὐδοκήσεις.

Θυσία τῷ Θεῷ πνεῦμα συντετριμμένον, καρδίαν συντετριμμένην καὶ τεταπεινωμένην ὁ Θεὸς οὐκ ἐξουδενώσει.

Ἀγάθυνον, Κύριε, ἐν τῇ εὐδοκίᾳ σου τὴν Σιών, καὶ οἰκοδομηθήτω τὰ τείχη Ἱερουσαλήμ.

Τότε εὐδοκήσεις θυσίαν δικαιοσύνης, ἀναφορὰν καὶ ὁλοκαυτώματα.

Τότε ἀνοίσουσιν ἐπὶ τὸ θυσιαστήριόν σου μόσχους.



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

Εἶτα ὁ κανών, οὗ ἡ ἀκροστιχίς:
*«Εὔχου, Δημητριανέ, ὑπὲρ τῆς σῆς Κυθρέας. Ἀ(θανάσιος)».*

### Ὠιδὴ α'. Ἦχος πλ.δ'. Ὑγρὰν διοδεύσας.

Ἐπάκουσον τέκνων σου εὐμενῶς, καὶ πλήρου αἰτήσεις, ἃς προσάγομεν ἐκ ψυχῆς, Δημητριανὲ κλέος Κυθρέας, ὡς παῤῥησίαν πλουτῶν πρὸς τὸν Κύριον.

Ὑμνοῦντές σου Πάτερ τὰς ἀρετάς, δεόμεθα πόθῳ, σαῖς πρεσβείαις πρὸς τὸν Θεόν, ἀπέλασον Κύπρου καὶ Κυθρέας, τοὺς εἰσβολεῖς ὥσπερ νέφη ἀδύναμα.

Χριστοῦ παραβαίνοντες ἐντολάς, ἐμπίπτομεν Πάτερ, αὐτομάτως εἰς πειρασμούς, διὸ καταξίωσον βαδίζειν, ἐν ἀσφαλείᾳ ὁδὸν τὴν σωτήριον.

### Θεοτοκίον

Ὁ βίος παρέρχεται ὡς καπνός, διὸ Θεοτόκε, καταξίωσον ἐκτελεῖν,
τὸν νόμον Χριστοῦ τὸν ζωηφόρον, ἵνα ζωῆς αἰωνίου μετάσχωμεν.

### Ὠιδὴ γ'. Οὐρανίας ἁψῖδος.

Ὑπὲρ πάντα τὸν κόσμον, τὸν Ἰησοῦν Ἅγιε, μόνον ἀγαπήσας ἐν ὤμοις, σταυρὸν ἀνείληφας, τὸν τῆς ἀσκήσεως, ὅθεν ἀξίωσον πόθῳ, ἀγαπᾶν τὸν Κύριον, τοὺς σὲ γεραίροντας.

Διὰ βίου ὑπέστης, τοῦ πονηροῦ πόλεμον, ὃν ὑπομονῇ θαυμαστῇ σου, Πάτερ ἐνίκησας, διὸ βοήθησον, ἡμῖν νικᾶν ταῖς εὐχαῖς σου, πάντα μηχανήματα, τοῦ πολεμήτορος.

Ἡ πολλή σου ἀγάπη, πρὸς τὸν Θεὸν Ἅγιε, καὶ πρὸς τοὺς ἀνθρώπους ὑπῆρξεν, ἀνεκδιήγητος, ἣν ἡμῖν χάρισαι, τοῖς τὸν λαμπρότατον βίον, σοῦ ἀναγινώσκουσι, καὶ πίστει μέλπουσι.



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

Θεοτοκίον

Μητρικῶς τὰς σὰς χεῖρας, πρὸς τὸν Χριστόν ὕψωσον, ὑπὲρ τῶν τιμώντων σε πόθῳ, καὶ Τοῦτον αἴτησαι, ὅπως τὰ πταίσματα, καὶ ἁμαρτίας ποικίλας, συγχωρήση Δέσποινα, ὡς μόνος εὔσπλαγχνος,
Διάσωσον, ἀπὸ κινδύνων τὴν ποίμνην σου, Δημητριανὲ ὅσιε Πάτερ, καὶ ἀσινῆ ταύτην διαφύλαττε, ὅπως τιμᾷ σου, τὴν θείαν μνήμην πανευγνωμόνως.

Ἐπίβλεψον, ἐν εὐμενείᾳ, πανύμνητε Θεοτόκε, ἐπὶ τὴν ἐμὴν χαλεπὴν τοῦ σώματος κάκωσιν, καὶ ἴασαι, τῆς ψυχῆς μου τὸ ἄλγος.

Κάθισμα. Ἦχος β'. Πρεσβεία θερμή.

Ἀγάπῃ Χριστοῦ, τὰ σπλάγχνα σου φλεγόμενος, τῆς ποίμνης τῆς σῆς, ὑπῆρξας Πάτερ ἄγγελος, καὶ τὰ νῦν τὸν Κύριον ἱκέτευε, σὺν Ἁγίοις πᾶσι κατοικῶν, Δημητριανὲ ὑπὲρ τῶν τέκνων σου.

Ὠιδὴ δ'. Εἰσακήκοα, Κύριε.

Ἣν ἁγνότητα ἤσκησας, ἐκ παιδὸς τοῖς τέκνοις σου πάρεχε, θησαυρὸν ὡς πολυτίμητον, Δημητριανὲ Κυθραίας καύχημα.

Τῶν παθῶν ὡς ἐκράτησας, δίδου τὴν ἀπάθειαν τοῖς ὑμνοῦσί σε, καὶ τὸν βίον τούτων ἤρεμον, ταῖς σαῖς ἱκεσίαις Πάτερ χάρισαι.

Ῥῶσιν σώματος Ἅγιε, τοῖς ἐν ἀσθενείαις χρονίαις δώρησαι, τὸ φιλάνθρωπον δεικνύμενος, Δημητριανὲ Χριστοῦ ἐκμίμημα.

Θεοτοκίον

Ἱκεσίαις σου Πάναγνε, τὸν γλυκὺν Υἱόν σου μὴ παύσῃ πώποτε, ἐκμειλίσσειν ὑπὲρ δούλων σου, τῶν μεγαλυνόντων ἐκ καρδίας σε.


ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

## Ὠιδὴ ε'. Φώτισον ἡμᾶς.

Ἄκουσον φωνάς, ἐξορίστων τῆς Κυθρέας σου, καὶ ἐπανάγαγε αὐτοὺς ὥσπερ ποτέ, τὸ ποίμνιόν σου, ἐπανήγαγες μακάριε.

Νοῦν ἡμῶν ναόν, τοῦ Κυρίου δεῖξον Ἅγιε, ἐν ᾧ ἡ μνήμη ἀδιάλειπτος Αὐτοῦ, διακρατεῖται, Δημητριανὲ τῇ μεσιτείᾳ σου.

Ἔξωσον ἡμῶν, τὰ τοῦ βίου ἄγχη Ἅγιε, καὶ τὴν εἰρήνην τοῦ Κυρίου δὸς ἡμῖν, ὅπως τιμῶμεν, ἐν χαρᾷ τὴν θείαν μνήμην σου.

### Θεοτοκίον

Ὕψωσον ἡμῶν, τὰ φρονήματα Πανάχραντε, πρὸς Βασιλείαν τοῦ γλυκέος σου Υἱοῦ, καὶ τὰς μερίμνας, τῶν γηΐνων ἀποδίωξον.

## Ὠιδὴ ϛ'. Τὴν δέησιν.

Πανέρημος, ἡ Κυθρέα ἔμεινεν, τῆς σῳζούσης τοῦ Κυρίου λατρείας, καὶ ἔνθα πρίν, ὁ χαρμόσυνος ἦχος, ἅγιε Πάτερ κωδώνων ἠκούετο, ἡ Ἄγαρ νῦν ἀσχημονεῖ, ἣν ὡς κόνιν τῆς γῆς ἐξαφάνισον.

Ἐπαύσαμεν, Ἐκκλησίας ᾄσματα, ὡς ποτὲ ἐν Βαβυλῶνι ἑβραῖοι, καὶ νοσταλγοί, τῆς Κυθρέας σου Πάτερ, ἐν τῇ ἰδίᾳ Πατρίδι καθήμεθα, ἐλπίζοντες ταῖς σαῖς εὐχαῖς, ὅπως ταύτης ταχὺ ἀπολαύσωμεν.

Ῥυπώδεις, τοὺς χιτῶνας ἔχοντες, τῶν ψυχῶν φιλανθρωπότατε Πάτερ, σὲ πρὸς Χριστόν, προβαλλόμεθα πρέσβυν, ὅπως δακρύων παράσχῃ τὸ χάρισμα, δι᾽ ὧν καθαίρωμεν λαμπρῶς, ἑαυτοὺς ὡς ναοὺς θείου Πνεύματος.

### Θεοτοκίον



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

Τὴν ἄχραντον, καὶ σεπτὴν εἰκόνα σου, Χαρδακιώτισσα ἁγνὴ Θεοτόκε, οἱ Κυθραιεῖς, συνεξόριστον σχόντες, κατασπαζόμεθα πόθῳ καὶ δάκρυσιν, αἰτούμενοι ἐπιστροφήν, ταχινὴν εἰς Κυθραίαν παμφίλιον.

Διάσωσον, ἀπὸ κινδύνων τὴν ποίμνην σου, Δημητριανὲ ὅσιε Πάτερ, καὶ ἀσινῆ ταύτην διαφύλαττε, ὅπως τιμᾷ σου, τὴν θείαν μνήμην πανευγνωμόνως.

Ἄχραντε, ἡ διὰ λόγου τὸν Λόγον ἀνερμηνεύτως, ἐπ' ἐσχάτων τῶν ἡμερῶν τεκοῦσα δυσώπησον, ὡς ἔχουσα μητρικὴν παῤῥησίαν.

Κοντάκιον. Ἦχος β'. Προστασία τῶν Χριστιανῶν.

Ὡς πατὴρ Κυθρυαίων φιλότεκνος, καὶ τῆς Κύπρου ἁπάσης πρὸς Θεὸν πρέσβυς Ἅγιε, μὴ ἐλλείπης, καθικετεύειν πάντοτε Αὐτόν, ὑπὲρ πάντων τῶν πιστῶς, ἐξαιτουμένων σὰς εὐχάς, ὅπως χάριτας Πνεύματος, πέμπη πλουσιοδώρως, καὶ ὡς παντελεήμων, τῆς Βασιλείας οὐρανῶν, ἀξιώσῃ τοὺς τιμῶντάς σε.

Προκείμενον.
Οἱ ἱερεῖς σου, Κύριε, ἐνδύσονται δικαιοσύνην καὶ οἱ ὅσιοί σου ἀγαλλιάσει ἀγαλλιάσονται.
Στίχ. *Ἀκούσατε ταῦτα πάντα τὰ ἔθνη.*

## Εὐαγγέλιον.

Ἐκ τοῦ κατὰ Ἰωάννην ἁγίου Εὐαγγελίου τὸ ἀνάγνωσμα.
(ι΄ 7-16).

Εἶπεν ὁ Κύριος· Ἐγώ εἰμι ἡ θύρα· δι' ἐμοῦ, ἐάν τις εἰσέλθῃ, σωθήσεται καὶ εἰσελεύσεται καὶ ἐξελεύσεται, καὶ νομὴν εὑρήσει. Ὁ κλέπτης οὐκ ἔρχεται, εἰ μὴ ἵνα κλέψῃ καὶ θύσῃ καὶ ἀπολέσῃ· ἐγὼ ἦλθον, ἵνα ζωὴν ἔχωσι καὶ περισσὸν ἔχωσιν. Ἐγώ εἰμι ὁ ποιμὴν ὁ καλός· ὁ ποιμὴν ὁ καλὸς τὴν ψυχὴν αὐτοῦ τίθησιν ὑπὲρ τῶν προβάτων· ὁ μισθωτὸς δὲ καὶ οὐκ ὢν ποιμήν, οὗ οὐκ εἰσὶ τὰ πρόβατα ἴδια, θεωρεῖ τὸν λύκον ἐρχόμενον καὶ ἀφίησι τὰ πρόβατα, καὶ φεύγει καὶ ὁ λύκος ἁρπάζει αὐτά, καὶ σκορπίζει τὰ



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

πρόβατα. Ὁ δὲ μισθωτὸς φεύγει, ὅτι μισθωτός ἐστι, καὶ οὐ μέλει αὐτῷ περὶ τῶν προβάτων. Ἐγώ εἰμι ὁ ποιμὴν ὁ καλὸς καὶ γινώσκω τὰ ἐμά, καὶ γινώσκομαι ὑπὸ τῶν ἐμῶν. Καθὼς γινώσκει με ὁ Πατὴρ κἀγὼ γινώσκω τὸν Πατέρα καὶ τὴν ψυχήν μου τίθημι ὑπὲρ τῶν προβάτων. Καὶ ἄλλα πρόβατα ἔχω, ἃ οὐκ ἔστιν ἐκ τῆς αὐλῆς ταύτης, κἀκεῖνά με δεῖ ἀγαγεῖν, καὶ τῆς φωνῆς μου ἀκούσουσι καὶ γενήσεται μία ποίμνη, εἷς ποιμήν.

*Δόξα Πατρί.*

Ταῖς τοῦ Ἱεράρχου, πρεσβείαις Ἐλεῆμον,
ἐξάλειψον τὰ πλήθη, τῶν ἐμῶν ἐγκλημάτων.

*Καὶ νῦν.*

Ταῖς τῆς Θεοτόκου, πρεσβείαις Ἐλεῆμον,
ἐξάλειψον τὰ πλήθη, τῶν ἐμῶν ἐγκλημάτων.

*Εἶτα ψάλλομεν τὸ προσόμοιον.*

Στίχ. *Ἐλέησόν με ὁ Θεός...*

Ἦχος πλ.β'. Ὅλην ἀποθέμενοι.

Πᾶσαν ἀπωσάμενος,
τοῦ βίου μέριμναν Πάτερ,
τῷ Χριστῷ συνήρμοσαι,
καὶ Αὐτῷ ὡς ἄριστα διηκόνησας.
Ὅθεν ἐπεσκόπευσας,
εὐσεβῶς Κυθρέας,
καὶ ἐν θαύμασι διέπρεψας,
χάριτι Πνεύματος,
ὅπερ σε ἐν πᾶσι κατηύθυνε,
καὶ ποίμνην ἠλευθέρωσας,
τῆς αἰχμαλωσίας φιλότεκνε.
Ὅθεν μὴ ἐλλείπης,

δόξα τῆς Κύπρου Δημητριανέ,
ὑπὲρ τῶν τέκνων σου εὔχεσθαι,
τῶν πιστῶς τιμώντων σε.

Ὠιδὴ ζ'. Οἱ ἐκ τῆς Ἰουδαίας.

Ἡ πατρίς σου στενάζει, δουλωθεῖσα τῆς Ἄγαρ στίφεσιν Ἅγιε, καὶ πάντες Κυθραιῶται, ὡς πρόσφυγες αἰτοῦνται, πατρικὴν μεσιτείαν σου, πρὸς τὸν Δεσπότην Χριστόν, παρ᾽ Ὧι πολλὰ ἰσχύεις.

Συνευχέτας σου λάβε, τοὺς Ἁγίους τῆς Κύπρου καὶ ἱκετεύσατε, Χριστὸν τὸν ζωοδότην, ὅπως Μεγαλονήσου, εἰσβολεῖς ὥσπερ νέφαλα, ἀποδιώξῃ ταχύ, ὁ πάντα ἐξισχύων.

Σοὶ βοῶσιν ἀγλώττως, τῶν σφαγέντων σου τέκνων Πάτερ τὰ αἵματα, ὑπὸ τῶν παρανόμων, καὶ σὲ παρακαλοῦσιν, ἵνα πάλιν σημάνωσιν, τῶν τῆς Κυθρέας ναῶν, κώδωνες χαρμοσύνως

Θεοτοκίον

Ἡ ἐκ πείρας μαθοῦσα, Θεοτόκε προσφύγων δεινὰ παθήματα, δεήθητι Κυρίου, ὅπως καταξιώσῃ, τῆς Κυθρέας τοὺς πρόσφυγας, ἐπανελθεῖν ἐν χαρᾷ, ταχέως εἰς πατρίδα.

Ὠιδὴ η'. Τὸν βασιλέα.

Στῆσον τὰ πάθη, τῶν σὲ τιμώντων ἐκ πόθου, ὥσπερ βοῦν τὸν ἀνυπότακτον Πάτερ, ἔδειξας εὐχῇ σου, ἥμερον ὡς ἀρνίον.

Κεκακωμένους, ἐκ τῆς σαρκὸς ἀσθενείας, καὶ παθῶν ψυχικῶν τοὺς βαρουμένους, ἴασαι Τρισμάκαρ, δεόμενος Κυρίου.

Ὑπερηφάνου, καὶ μισανθρώπου παγίδας, ὡς ἀθύρματα παίδων θραῦσον Πάτερ, δι᾽ ὧν σχεδιάζει, ἡμᾶς ὑποσκελῖσαι.

Θεοτοκίον

Θεοκυῆτορ, ὑπὲρ τῆς Κύπρου Υἱόν σου, καθικέτευε ὅπως ταύτην σώζῃ, τὴν πλῆθος ἁγίων, εἰκόνων σου πλουτοῦσαν.

Ὠιδὴ θ΄. Κυρίως Θεοτόκον.

Ῥῦσαι τοὺς θλιβομένους, Πάτερ σαῖς πρεσβείαις, ἀπὸ τοῦ βίου πικρῶν περιστάσεων, καὶ τὴν χαρὰν δίδου τούτοις, τὴν χριστοπάροχον.

Ἐξόριστον σὴν ποίμνην, πάλιν εἰς Κυθρέαν, ἐπισυνάγαγε Πάτερ φιλότεκνε, ἔνθα ᾠδαῖς εὐχαρίστοις, σὲ ἀνυμνήσωμεν.
Ἀγάπην τοῦ Κυρίου, δίδου τοῖς σοῖς τέκνοις, Ἀρχιεράρχα Χριστοῦ πανσεβάσμιε, ὅπως ἐχθροῦ τὰς παγίδας, κατασυντρίβωμεν.

Σὺν πᾶσι τοῖς Ἁγίοις, τῆς Μεγαλονήσου, ὑπὲρ αὐτῆς τὸν Δεσπότην πρεσβεύσατε, καὶ ὀρθοδόξους Κυπρίους, Πάτερ στηρίξατε.

Θεοτοκίον

Ἁγνὴ Παρθενομῆτορ, σκέπε σαῖς πρεσβείαις, τὰ ἐν τῇ Κύπρῳ φιλόθεα τέκνα σου, καὶ ἀπὸ πάσης ἀνάγκης, ταῦτα ἐξάγαγε.

*εἶτα ἐπιψάλλομεν τό,*

Ἄξιόν ἐστιν ὡς ἀληθῶς,
μακαρίζειν σε τὴν Θεοτόκον,
τὴν ἀειμακάριστον καὶ παναμώμητον,
καὶ Μητέρα τοῦ Θεοῦ ἡμῶν.
Τὴν τιμιωτέραν τῶν Χερουβίμ,
καὶ ἐνδοξοτέραν,
ἀσυγκρίτως τῶν Σεραφίμ,
τὴν ἀδιαφθόρως,
Θεὸν Λόγον τεκοῦσαν,



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

τὴν ὄντως Θεοτόκον,
σὲ μεγαλύνομεν.

## Μεγαλυνάρια

Χαίροις τῆς Κυθρέας κλεινὲ ποιμήν, καὶ τῆς Κύπρου πάσης, πρὸς Δεσπότην πρέσβυς θερμός, χαίροις τῆς ἀγάπης, ἰσόβιος ἐργάτης, καὶ τῶν θαυμάτων βρύσις, ἀεὶ ἐκβλύζουσα.
Δημητριανὲ τῶν Κυθραιωτῶν, ὁ κλεινὸς προστάτης, καὶ φιλότεκνος ἀρωγός, ἴδε τὴν σὴν ποίμνην, ἐν ἐξορίᾳ οὖσαν, καὶ ταύτην εἰς Κυθρέαν, πάλιν ἐπίστρεψον.

Ὕψωσον τὰς χεῖράς σου πρὸς Θεόν, καὶ τὴν χάριν αἴτει, ὑπὲρ πάντων Κυθραιωτῶν, οὕσπερ ἐν ὑγίειᾳ, συντήρει καὶ ἀγάπῃ, ὅπως ἀεὶ τιμῶσι, τὴν θείαν μνήμην σου.

Πᾶσαι τῶν ᾿Αγγέλων αἱ στρατιαί, Πρόδρομε Κυρίου, Ἀποστόλων ἡ δωδεκάς, οἱ Ἅγιοι Πάντες, μετὰ τῆς Θεοτόκου, ποιήσατε πρεσβείαν, εἰς τὸ σωθῆναι ἡμᾶς.

*Τρισάγιον. Παναγία Τριάς. Πάτερ ἡμῶν. Ὅτι σοῦ ἐστιν.*

*καὶ τὰ τροπάρια*

Ἐλέησον ἡμᾶς, Κύριε ἐλέησον ἡμᾶς.
Πάσης γὰρ ἀπολογίας ἀποροῦντες,
ταύτην σοι τὴν ἱκεσίαν
ὡς Δεσπότῃ οἱ ἁμαρτωλοὶ προσφέρομεν·
ἐλέησον ἡμᾶς.

*Δόξα Πατρί.*

Κύριε, ἐλέησον ἡμᾶς· ἐπὶ σοὶ γὰρ πεποίθαμεν.
Μὴ ὀργισθῇς ἡμῖν σφόδρα,
μηδὲ μνησθῇς τῶν ἀνομιῶν ἡμῶν·
ἀλλ᾽ ἐπίβλεψον καὶ νῦν ὡς εὔσπλαγχνος



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

καὶ λύτρωσαι ἡμᾶς ἐκ τῶν ἐχθρῶν ἡμῶν.
Σὺ γὰρ εἶ Θεὸς ἡμῶν καὶ ἡμεῖς λαός σου·
πάντες ἔργα χειρῶν σου
καὶ τὸ ὄνομά σου ἐπικεκλήμεθα.

*Καὶ νῦν.*

Τῆς εὐσπλαγχνίας τὴν πύλην ἄνοιξον ἡμῖν,
εὐλογημένη Θεοτόκε.
Ἐλπίζοντες εἰς σὲ μὴ ἀστοχήσαιμεν·
ῥυσθείημεν διὰ σοῦ τῶν περιστάσεων.
Σὺ γὰρ εἶ ἡ σωτηρία τοῦ γένους τῶν Χριστιανῶν.

*Εἰς τὴν ἀπόλυσιν ψάλλομεν τὸ παρὸν προσόμοιον.*

Ἦχος β.' Ὅτε ἐκ τοῦ ξύλου σε.

Δημητριανὲ πατὴρ ἡμῶν, βλέψον οὐρανόθεν σὴν ποίμνην, οὖσαν ἐξόριστον, καὶ Κυθρέαν οἴκτιρον, ζυγῷ στενάζουσαν· ὅθεν δεῖξον τὰ σπλάγχνα σου, καὶ γόνους βεβήλους, Ἄγαρ ἀποδίωξον, ταύτης ὡς νέφη καὶ χοῦν, ὅπως ἐπιστρέψαντες δῶμεν, τὴν εὐχαριστίαν Κυρίῳ, καὶ σοὶ ὡς προστάτῃ τῶν προβάτων σου.

Δέσποινα πρόσδεξαι,
τὰς δεήσεις τῶν δούλων σου,
καὶ λύτρωσαι ἡμᾶς,
ἀπὸ πάσης ἀνάγκης καὶ θλίψεως.

Τὴν πᾶσαν ἐλπίδα μου,
εἰς σὲ ἀνατίθημι,
Μῆτερ τοῦ Θεοῦ,
φύλαξόν με ὑπὸ τὴν σκέπην σου.

Ἐκ παντοίων κινδύνων τοὺς δούλους σου,
φύλαττε, εὐλογημένη Θεοτόκε,
ἵνα σε δοξάζωμεν,



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

τὴν ἐλπίδα τῶν ψυχῶν ἡμῶν.

Τῇ πρεσβείᾳ, Κύριε, πάντων τῶν Ἁγίων,
καὶ τῆς Θεοτόκου,
τὴν σὴν εἰρήνην δὸς ἡμῖν,
καὶ ἐλέησον ἡμᾶς,
ὡς μόνος οἰκτίρμων.

Δι᾽ εὐχῶν.

## Στίχοι

*Δημητριανέ, ὑπὲρ Κυθρέας εὔχου,*
*Πρέσβυν θερμόν σε πρὸς Κύριον πλουτούσης.*



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ